# ΟΙ ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ ΕΙΣ ΤΗΝ ΖΩΟΔΟΧΟΝ ΠΗΓΗΝ ΤΗΣ ΥΠΕΡΕΥΛΟΓΗΜΕΝΗΣ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ ΚΑΙ ΑΕΙΠΑΡΘΕΝΟΥ ΜΑΡΙΑΣ




Παραθέτομεν στίς σελίδες πού ἀκολουθοῦν τούς Χαιρετιστήριους οἴκους τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καί Ἀειπαρθένου Μαρίας **τῆς Ζωοδόχου Πηγῆς** ἀποκαλουμένης.

Ἄς παρακαλέσωμεν λοιπόν ἀναγινώσκοντες μέ εὐλάβειαν καί πόθον αὐτούς τήν Ὑπέραγνον Ἁγίαν Θεοτόκον ὅπως καταργήσῃ πᾶσαν πονηράν βουλήν τοῦ ψυχοφθόρου ἐχθροῦ τηροῦσα ἡμᾶς ἀβλαβεῖς τόν ὑπόλοιπον τῆς ζωῆς μας χρόνον καί μή ἐλλείπῃ νά πρεσβεύῃ πρός τόν Αὐτῆς Υἱόν καί Θεόν ἡμῶν ὅπως ἐλεήμων γένηται δι' ἡμᾶς εἰς τήν φοβεράν ἡμέραν τῆς δικαίας Του κρίσεως καί παράσχῃ συγγνώμην εἰς τά ἀναρίθμητα πλημμελήματά μας.

### Κοντάκιον.

Ἦχος πλ. δ'. Τῇ Ὑπερμάχῳ.

Τῇ Ζωοδόχῳ σου Πηγῇ, Θεοχαρίτωτε,
προσενεγκεῖν ὁ εὐτελής δοῦλος σου,
Δέσποινα, τό ἐφύμνιον τεθάρρηκα, Θεοτόκε.
Ἀλλ' ὡς Μήτηρ τοῦ Παντάνακτος ὑπάρχουσα,
τοῦ ἐλέους σου ρανίδα μοι ἐπίσταξον,
ἵνα κράζω σοι· Χαῖρε ὕδωρ σωτήριον.

Ἄγγελοι σύν ἀνθρώποις, ἐποφείλουσιν ὄντως, Παρθένε, προσφωνεῖν σοι τό χαῖρε (ἐκ τρίτου)· καί γάρ ὡς τετοκυῖαν τόν Χριστόν, ἄνευθεν ὠδίνων μητρικῶν βλέποντες, εἰκότως ἐξιστάμενοι κραυγάζουσι πρός σέ τοιαῦτα·

Χαῖρε δι᾽ ἧς ἡ χαρά ἐδόθη·
Χαῖρε δι᾽ ἧς ἡ ἀρά ἐπαύθη.

Χαῖρε μυστηρίου ἀρχαίου φανέρωσις·
Χαῖρε τῆς Βουλῆς τοῦ Ὑψίστου ἐκπλήρωσις.

Χαῖρε ὅτι Πνεῦμα Ἅγιον ἐπελήλυθεν ἐν σοί·
Χαῖρε ὅτι τό γεννώμενον ἐκ σοῦ Ἅγιόν ἐστι.

Χαῖρε ἡ σεβομένη ἐκ βροτῶν καί Ἀγγέλων·
Χαῖρε δεδοξασμένη εἰς αἰῶνας αἰώνων.

Χαῖρε δι᾽ ἧς λαμβάνομεν ἄφεσιν·
Χαῖρε δι᾽ ἧς ἀντλοῦμεν τήν ἴασιν.

Χαῖρε φλέψ ἡ ἐν τῷ οἴκῳ Κυρίου·
Χαῖρε πηγή ὕδατος σωτηρίου·

***Χαῖρε ὕδωρ σωτήριον***

Βάτον σε ὁ Θεόπτης ἐθεώρει, φωνῆς τε Θεϊκῆς ἀκηκόει· Λέων δέ ὁ μέγας βασιλεύς, ἔνδον τοῦ δάσους ὕδωρ εὑρεῖν ηὔχετο, φωνῆς δέ τῆς ἁγίας σου ἀκούσας, ἐν ἐκπλήξει ἔφη·

***Ἀλληλούϊα***

Γένος ἀδαμιαῖον, διά σοῦ σεσωσμένον, Πανάχραντε Ἁγνή, καθορᾶται· τόν Σωτῆρα γάρ καί Ποιητήν ἀρρήτως καί ὑπερφυῶς ἔτεκες· διό κινεῖς πρός αἶνόν σου, πᾶσαν γλῶσσαν φθέγγεσθαι ταῦτα·

Χαῖρε τιμή τοῦ βροτείου γένους·
Χαῖρε δόξα τοῦ σύμπαντος κόσμου.

Χαῖρε Μαριάμ τό γλυκύτατον ὄνομα·
Χαῖρε τῆς ἀθλίας ψυχῆς μου μελέτημα.

Χαῖρε ὅτι περ ἐγέννησας τόν Σωτῆρα μου Χριστόν·
Χαῖρε ὅτι περ ἐθήλασας τόν τροφέα τοῦ παντός.

Χαῖρε ἡ ἐκ τῆς ρίζης Ἰεσσαί φυεῖσα·
Χαῖρε ἡ ἐκ στείρας παραδόξως τεχθεῖσα.

Χαῖρε εὐδοκίας Θεοῦ τό προοίμιον·
Χαῖρε σωτηρίας ἡμῶν τό κεφάλαιον.

Χαῖρε σέ γάρ πᾶς πιστός προσκαλεῖται·
Χαῖρε σέ γάρ βοηθόν ἐξαιτεῖται·

**Χαῖρε ὕδωρ σωτήριον**

Δύναμις τοῦ Ὑψίστου, ἀριδήλως ὁρᾶται, ἐν ὕδατι Πηγῆς σου, Παρθένε· οἱ γάρ προστρέχοντες ἐν αὐτῷ, τυφλοί, χωλοί, γενικῶς ἅπαντες, κομίζονται τήν ἴασιν, ψυχῆς καί σώματος βοῶντες·

**Ἀλληλούϊα**

Ἔχουσα τήν Πηγήν σου, Θεοτόκε Παρθένε, ἡ πόλις σου θησαυρόν ἰαμάτων, τήν τῆς πίστεως ἕδραν πλουτεῖ, καί σέ πολιοῦχον κραταιάν κέκτηται· ἡμεῖς δέ ἀγαλλόμενοι σύν αὐτῇ βοῶμεν ταῦτα·

Χαῖρε ἡ δόξα τῆς Ἐκκλησίας·
Χαῖρε ἡ λάμψις Ὀρθοδοξίας.

Χαῖρε Βασιλέων τό θεῖον ἀγλάϊσμα·
Χαῖρε Πατριαρχῶν σεπτόν ἐγκαλλώπισμα.

Χαῖρε ἀνακεφαλαίωσις τῶν δύο Διαθηκῶν·
Χαῖρε ράβδος ποιμαντήριος τῶν κλεινῶν Ἱεραρχῶν.

Χαῖρε τῶν ἱερέων καλλονή καί λαμπρότης·
Χαῖρε τῶν διακόνων χαρμονή καί τερπνότης.

Χαῖρε Κληρικῶν τό σεμνολόγημα·
Χαῖρε Ἀσκητῶν μέγα ἐντρύφημα.

Χαῖρε πιστῶν Ὀρθοδόξων τό κῦδος·
Χαῖρε τῶν ὀρθά φρονούντων τό νῖκος·

**Χαῖρε ὕδωρ σωτήριον**

Ζήτησον ἐπιμόνως καί εὑρήσεις τό ὕδωρ, ἐνταῦθά που τοῦ ἄλσους, ὦ Λέων· ποτίσας δέ ἐκ τούτου τόν τυφλόν, καί τάς κόρας αὐτοῦ τῷ πηλῷ ἴασαι· ἀμφότεροι δέ οἰκοῦσάν με τόν δε τόν χῶρον, κράξατε γνόντες·

**Ἀλληλούϊα**

Ἤκουσε τῆς φωνῆς σου ἰδιώτης ὤν τότε, τήν σήν Πηγήν ὁ ἀνακαλύψας· φιλάνθρωπος μέν πράγματι ὤν, Λέοντος δέ ὄνομα πλουτῶν ἔντρομος, ὅς οἶκόν σοι δειμάμενος ἐδίδαξε πάντας βοᾶν σοι·

Χαῖρε πηγή ἀκενώτου μύρου·
Χαῖρε κρατήρ ἀειζώου ρείθρου.

Χαῖρε ποταμέ Παραδείσου ἀείρρυτε·
Χαῖρε εἰς ἀρχάς πολλαπλάς διαιρούμενε.

Χαῖρε ὕδωρ τό ἀνώτερον κολυμβήθρας Σιλωάμ·
Χαῖρε ἅπαντας ἰώμενον τούς φωνοῦντας Μαριάμ!

Χαῖρε ὅτι ὑπάρχεις ἰατρεῖον τῶν νόσων·
Χαῖρε ὅτι καθαίρεις τάς ψυχάς τῶν ἀνθρώπων.

Χαῖρε φλογμόν τῶν παθῶν ἡ σβεννύουσα·
Χαῖρε παντός κινδύνου ἐξαίρουσα.

Χαῖρε σέ γάρ προσκυνοῦμεν οἱ δοῦλοι·
Χαῖρε σοί γάρ προσφωνοῦμεν ἐν πίστει·

***Χαῖρε ὕδωρ σωτήριον***

Θετταλός νεανίας, ἐξανίσταται αἴφνης, προσχύσει τῇ τριττῇ ὕδατός σου· θανών γάρ γλιχόμενος αὐτοῦ, παλινζωΐας ὡς θαυμαστῶς ἔτυχε, δοξάζων, μεγαλύνων σε, μετά πάντων ψάλλων·

***Ἀλληλούϊα***

Ἴδε μου τήν ἀνάγκην, καί τήν θλίψιν, Παρθένε, καί ἐπίσκεψαι τήν κάκωσιν ἥν ἔχω κατά σάρκα, δεινῶς γε κακουχούμενος, ἐλεεινῶς ἄληκτα· καί γάρ ἐπικαλοῦμαί σε ἐν κλαυθμῷ γοερῶς ἀνακραυγάζων·

Χαῖρε ἐπίσκεψις τῶν νοσούντων·
Χαῖρε παράκλησις τῶν πενθούντων.

Χαῖρε τῶν ἐν κλίνῃ κειμένων ἀνέγερσις·
Χαῖρε ψυχικῶν παθημάτων ἀφάνισις.

Χαῖρε πάντων ἡ ἀνάρρωσις καχεκτούντων ἐν σαρκί·
Χαῖρε αὖθις ἡ διόρθωσις τῶν νοσούντων ἐν νοΐ.

Χαῖρε ὅτι τούς πόνους τῆς σαρκός καταπαύεις·
Χαῖρε ὅτι ἁπάντων τάς ψυχάς διασώζεις.

Χαῖρε, ἰατρέ, ψυχῆς τε καί σώματος·
Χαῖρε χορηγέ πάσης ἁγιότητος.

Χαῖρε ζωῆς τῆς αἰωνίου φρέαρ·
Χαῖρε ἐξ ἧς θεῖα χέονται ρεῖθρα·

***Χαῖρε ὕδωρ σωτήριον***

Κλίμαξ οὐρανομήκης ἀπό γῆς τεταμένη πρός ὕψος τό τοῦ πόλου ἐφάνης τῷ προπάτορι πάλαι Ἰακώβ, δι' ἧς Θεός κατῆλθεν ἐν γῇ, Πάναγνε, ἡμῖν δέ ἀναδέδειξαι πηγή ζωῆς τοῖς ἐκβοῶσιν·

***Ἀλληλούϊα***

Λόγους ἐμῶν χειλέων καί καρδίας τόν πόθον δεξαμένη, Μητράνανδρε Κόρη, ἀντιλήψεως καί ἀρωγῆς ποίησόν με, Δέσποινα, τῆς σῆς, ἄξιον οἰκτείρασα τόν δείλαιον, ἐκ ψυχῆς βοῶντά σοι ταῦτα·

Χαῖρε Ἀγγέλων ἡ ὑμνωδία·
Χαῖρε ἀνθρώπων ἡ σωτηρία.

Χαῖρε τῶν Προφητῶν Σεμνή τό προκήρυγμα·
Χαῖρε τῶν πρωτοπλάστων Ἁγνή τό καύχημα.

Χαῖρε ἥν περ ἐθεάσατο πύλην Ἰεζεκιήλ·
Χαῖρε ἥν περ προεώρακεν ὄρος πρίν ὁ Δανιήλ.

Χαῖρε σέ γάρ παρθένων Ἡσαΐας προλέγει·
Χαῖρε σέ γάρ Μητέρα τοῦ Θεοῦ προαγγέλλει.

Χαῖρε Προφητίδων ὑπερέχουσα·
Χαῖρε πασῶν γυναικῶν ἐξάρχουσα.

Χαῖρε ἡ τιμή πάντων τῶν Δικαίων·
Χαῖρε ἡ δόξα πάντων τῶν Ἁγίων·

***Χαῖρε ὕδωρ σωτήριον***

Μέλλοντος καταπίπτειν τοῦ Ναοῦ τῆς Πηγῆς σου, Ὑπέραγνε ἁγία Παρθένε, βαστάζουσα ὤφθης αὐτόν, ἕως οὗ τό πλῆθος τοῦ λαοῦ ἀπιόν ᾤχετο· οὐ γάρ βούλει τόν θάνατον, ἀλλά τήν ζωήν τῶν βοώντων·

***Ἀλληλούϊα***

Νάουσιν ἐκ πηγῆς σου δαψιλῶς τε καί χύδην, ρεῖθρα τῶν θαυμάτων, Θεοτόκε, ἐπικαλύπτοντα ἀληθῶς, ἅπαν τό τῆς θαλάσσης καί γῆς πρόσωπον, καί πάντας διεγείροντα, ἐν ἑνί στόματι βοᾶν σοι·

Χαῖρε συντήρησις τῆς ὑγείας·
Χαῖρε ἐκδίωξις ἀσθενείας.

Χαῖρε ἡ ἐκ κινδύνων πολλῶν ἐξαίρουσα·
Χαῖρε ἡ ἐκ νηπίων αἶνον καταρτίζουσα.

Χαῖρε σέ γάρ προσκαλούμεθα ἐν ἡμέρᾳ καί νυκτί·
Χαῖρε σέ γάρ ἐπιστάμεθα βοηθῆσαι δυνατήν.

Χαῖρε ὅτι καί Μήτηρ καί τροφός σύ ὑπάρχεις·
Χαῖρε ὅτι καί σκέπη καί ἀντίληψις πέλεις.

Χαῖρε Χριστιανῶν τό καταφύγιον·
Χαῖρε τῶν εὐσεβῶν τό προπύργιον.

Χαῖρε τό ἔρεισμα τῶν ἑστηκότων·
Χαῖρε διόρθωσις τῶν ἐπταικότων·

***Χαῖρε ὕδωρ σωτήριον***

Ξένα καί ὑπέρ λόγον τά τεράστια πέλει, τοῦ ὕδατος τῆς Πηγῆς σου, Παρθένε· καί γάρ τά πεπραγμένα ἐν σοί ξενήκουστα καί ὑπερφυῆ ἔνεστιν· ἀλλ' οὖν ἡμεῖς πιστεύοντες, προσκυνοῦμεν ταῦτα βοῶντες·

***Ἀλληλούϊα***

Ὅλην μου τήν ἐλπίδα ἀνατίθημι Κόρη, εἰς σέ τήν τοῦ Θεοῦ μου Μητέρα· σύ οὖν ὥσπερ στρουθίον μικρόν, πτέρυξιν ἁγίαις με ταῖς Σαῖς σκέπασον, ὡς ἄν περιθαλπόμενος κελαδῶ ἐκ καρδίας οὕτω·

Χαῖρε ἡ Μήτηρ τοῦ Ἰησοῦ μου·
Χαῖρε καθέδρα τοῦ Λυτρωτοῦ μου.

Χαῖρε Ἀσωμάτων Δυνάμεων ἔπαινος·
Χαῖρε τῶν ἀΰλων Ταγμάτων ἐγκώμιον.

Χαῖρε ὅτι τῆς Εἰκόνος Σου ἔμπροσθεν ὁ Γαβριήλ·
Χαῖρε χαίρων ἐξεβόησεν ὕμνον Ἄξιόν ἐστι.

Χαῖρε ὅτι ὑπάρχεις παντός τοῦ κόσμου προστάτις·
Χαῖρε ὅτι τάς πόλεις καί τάς νήσους φυλάττεις.

Χαῖρε Προυσοῦ, Τήνου, Κύκκου ἔφορος·
Χαῖρε καλή πολιοῦχος Ἄθωνος.

ψυχήν πάθεσιν, ἀλλ' οὖν ἐν μετανοίᾳ με πρόσδεξαι, Πάναγνε, βοῶντα·

Χαῖρε προστάτις τῶν ὑπευθύνων·
Χαῖρε ἀθώωσις τῶν ἐνόχων.

Χαῖρε ἀδεκάστου Κριτοῦ ἡ δυσώπησις·
Χαῖρε κρινομένου βροτοῦ ἡ ἀντίληψις.

Χαῖρε σύ γάρ εἶ μεσίτρια ἁπάντων τῶν ἁμαρτωλῶν·
Χαῖρε σύ γάρ ἐγγυήτρια δι' αὐτούς πρός τόν Θεόν.

Χαῖρε ἀπολογία τῶν ἐξεταζομένων·
Χαῖρε συνηγορία τῶν ἐκδικαζομένων.

Χαῖρε πιστῶν ἐλπίς ἀκαταίσχυντος·
Χαῖρε ἡ κρηπίς αὐτῶν ἡ στερέμνιος.

Χαῖρε γεέννης ἡμᾶς λυτρουμένη·
Χαῖρε ἀσβέστου πυρός ρυομένη·

***Χαῖρε ὕδωρ σωτήριον***

Ὕδωρ ἀθανασίας καί πόμα ἀμβροσίας, καί τοῦ νέκταρος φέρτερον νᾶμα, ἐκ τῆς Ζωοπαρόχου Πηγῆς, χαρᾷ καί πόθῳ ἀδελφοί πίετε, τήν πάνσεπτον Εἰκόνα δέ ταύτης προσκυνοῦντες βοᾶτε·

***'Αλληλούϊα***

Φέρουσαν ἐν νηδύϊ τόν πρό πάντων αἰώνων, ἀρρήτως ἐκ Πατρός γεννηθέντα, αἰσθόμενος ὁ στειρωτικῇ κρυπτόμενος μητρώᾳ γαστρί Πρόδρομος, ἐσκίρτησεν, ἐδόξασεν, ἐβόησε πρός τήν Παρθένον·

Χαῖρε Ἁγνή Κεχαριτωμένη·
Χαῖρε ἐν γυναιξίν εὐλογημένη.

Χαῖρε τόν Σωτηρα τῶν ψυχῶν ἡ τέξασα·
Χαῖρε τόν Δοτῆρα τῶν καλῶν κυήσασα.

Χαῖρε ὅτι περ ὁ Κύριος μετά σοῦ ὁ αἰνετός·
Χαῖρε ὅτι τῆς κοιλίας σου ὁ καρπός εὐλογητός.

Χαῖρε δι' ἧς ἐδόθη ἡ χάρις τοῖς ἀνθρώποις·
Χαῖρε δι' ἧς ἐπαύθη τῆς ἀρᾶς ἡ πικρότης.

Χαῖρε γλυκύρρουν ὕδωρ προρρέουσα·
Χαῖρε αὐχμόν τῆς πλάνης διώκουσα.

Χαῖρε ζωῆς τόν ὄμβρον ἡ τεκοῦσα·
Χαῖρε Πηγή θαυμαστῶς πλημμυροῦσα·

***Χαῖρε ὕδωρ σωτήριον***

Χαῖρέ σοι ἀνακράζω, ὡς τεκούσῃ ἀφράστως, τοῦ κόσμου τήν χαράν, Θεοτόκε, καθ' ἑκάστην σέ ἐκλιπαρῶν, τῆς ἀλήκτου με ποιῆσαι χαρᾶς μέτοχον, φωνῆς ἀγαλλιάσεως, καί ἤχου ἑορτάζοντος ἀκούειν·

***Ἀλληλούϊα***

Ψάλατε ἀνακράζει, τῷ Θεῷ ὁ Προφήτης, ψάλατε, δή τῷ Βασιλεῖ πάντες· ἐπαινῶν ἐν τῷ αὐτῷ ψαλμῷ, σέ τήν καλλονήν τοῦ Ἰακώβ ἄριστα· ἡμεῖς οὖν τῷ προπάτορι πειθόμενοι ψάλλομεν ταῦτα·

Χαῖρε τό ᾆσμα τῆς Ἐκκλησίας·
Χαῖρε ᾠδή τῆς σῆς κληρουχίας.

Χαῖρε μελωδιῶν ἱερῶν ἡ ὑπόθεσις·
Χαῖρε μουσουργῶν χοροστατῶν ἡ ὕμνησις.

Χαῖρε πάντερπνον ψαλτήριον τοῦ Προπάτορος Δαβίδ·
Χαῖρε ᾆσμα Σολομώντειον ἐξιστῶν πᾶσαν πνοήν.

Χαῖρε ὅτι φωτίζεις τούς τυφλούς ὕδατί σου·
Χαῖρε ὅτι φωτίζεις τούς ἀσόφους φωτί σου.

Χαῖρε πιστούς ἐξ Ἅδου ἁρπάζουσα·
Χαῖρε ψυχάς τῶν δούλων σου σώζουσα.

Χαῖρε δι' ἧς σωτηρίαν ἐλπίζω·
Χαῖρε ἐφ' ἥν πεποιθώς ἀποθνήσκω·

***Χαῖρε ὕδωρ σωτήριον***

Ὦ Πηγή Ζωοδόχε, ἡ βλυστάνουσα πᾶσι, ψυχῆς ὁμοῦ καί σώματος ρῶσιν (ἐκ τρίτου)· δεδεγμένη δέησιν οἰκτράν, ἀπό πάσης ρῦσαι συμφορᾶς ἅπαντας, καί αἰωνίου λύτρωσαι κολάσεως τούς συμβοῶντας·

***Ἀλληλούϊα***

Καί αὖθις.

Ἄγγελοι σύν ἀνθρώποις, ἐποφείλουσιν ὄντως, Παρθένε, προσφωνεῖν σοι τό χαῖρε· καί γάρ ὡς τετοκυῖαν Χριστόν, ἄνευθεν ὠδίνων μητρικῶν βλέποντες, εἰκότως ἐξιστάμενοι κραυγάζουσι πρός σέ τοιαῦτα·

Χαῖρε δι' ἧς ἡ χαρά ἐδόθη·
Χαῖρε δι' ἧς ἡ ἀρά ἐπαύθη.

Χαῖρε μυστηρίου ἀρχαίου φανέρωσις·
Χαῖρε τῆς Βουλῆς τοῦ Ὑψίστου ἐκπλήρωσις.

Χαῖρε ὅτι Πνεῦμα Ἅγιον ἐπελήλυθεν ἐν σοί·
Χαῖρε ὅτι τό γεννώμενον ἐκ σοῦ Ἅγιόν ἐστι.

Χαῖρε ἡ σεβομένη ἐκ βροτῶν καί Ἀγγέλων·
Χαῖρε δεδοξασμένη εἰς αἰῶνας αἰώνων.

Χαῖρε δι' ἧς λαμβάνομεν ἄφεσιν·
Χαῖρε δι' ἧς ἀντλοῦμεν τήν ἴασιν.

Χαῖρε φλέψ ἡ ἐν τῷ οἴκῳ Κυρίου·
Χαῖρε πηγή ὕδατος σωτηρίου·

***Χαῖρε ὕδωρ σωτήριον***

Καί τό Κοντάκιον.

Τῇ Ζωοδόχῳ σου Πηγῇ,
Θεοχαρίτωτε,
προσενεγκεῖν
ὁ εὐτελής δοῦλος σου,
Δέσποινα,
τό ἐφύμνιον τεθάρρηκα, Θεοτόκε.
Ἀλλ' ὡς Μήτηρ
τοῦ Παντάνακτος ὑπάρχουσα,
τοῦ ἐλέους σου
ρανίδα μοι ἐπίσταξον,
ἵνα κράζω σοι·
Χαῖρε ὕδωρ σωτήριον.

